### Ἡφαιστος.

Κράτος Βία τε, σφῷν μὲν ἐντολὴ Διὸς
Ἔχει τέλος δή, κοὐδὲν ἐμποδὼν ἔτι·
Ἐγὼ δ' ἄτολμός εἰμι, συγγενῆ θεὸν
Δῆσαι βίᾳ φάραγγι πρὸς δυςχειμέρῳ.
Πάντως δ' ἀνάγκη τῶνδ' ἐμοὶ τόλμαν σχέθειν·
Ἐξωριάζειν γὰρ πατρὸς λόγους βαρύ.
Τῆς ὀρθοβούλου Θέμιδος αἰπυμῆτα παῖ,
Ἄκοντά σ' ἄκων δυςλύτοις χαλκεύμασι
Προςπασσαλεύσω τῷδ' ἀπανθρώπῳ πάγῳ,
Ἵν' οὔτε φωνήν, οὔτε του μορφὴν βροτῶν
Ὄψει, σταθευτὸς δ' ἡλίου φοίβῃ φλογὶ
Χροιᾶς ἀμείψεις ἄνθος, ἀσμένῳ δέ σοι
Ἡ ποικιλείμων νὺξ ἀποκρύψει φάος,
Πάχνην θ' ἑῴαν ἥλιος σκεδᾷ πάλιν.
Ἀεὶ δὲ τοῦ παρόντος ἀχθηδὼν κακοῦ
Τρύσει σ'· ὁ λωφήσων γὰρ οὐ πέφυκέ πω.
Τοιαῦτ' ἀπηύρω τοῦ φιλανθρώπου τρόπου.
Θεὸς θεῶν γὰρ οὐχ ὑποπτήσσων χόλον,
Βροτοῖσι τιμὰς ὤπασας πέρα δίκης·
Ἀνθ' ὧν ἀτερπῆ τήνδε φρουρήσεις πέτραν,
Ὀρθοστάδην, ἄϋπνος, οὐ κάμπτων γόνυ.
Πολλοὺς δ' ὀδυρμοὺς καὶ γόους ἀνωφελεῖς
Φθέγξει· Διὸς γὰρ δυςπαραίτητοι φρένες·
Ἅπας δὲ τραχύς, ὅςτις ἂν νέον κρατεῖ.